Ἔπεμπεν. Ἴδη μὲν πρὸς Ἑρμαῖον λέπας
Λήμνου· μέγαν δὲ πανὸν ἐκ νήσου τρίτον
Ἄθωον αἶπος Ζηνὸς ἐξεδέξατο·
Ὑπερτελής τε πόντου ὥςτε νωτίσαι
Ἰσχὺς πορευτοῦ λαμπάδος πρὸς ἡδονὴν,
Πεύκη τὸ χρυσοφεγγὲς ὥς τις ἥλιος
Σέλας παραγγείλασα Μακίστου σκοπαῖς·
Ὁ δ' οὔτι μέλλων οὐδ' ἀφρασμόνως ὕπνῳ
Νικώμενος παρῆκεν ἀγγέλου μέρος·
Ἑκὰς δὲ φρυκτοῦ φῶς ἐπ' Εὐρίπου ῥοὰς
Μεσαπίου φύλαξι σημαίνει μολόν.
Οἱ δ' ἀντέλαμψαν καὶ παρήγγειλαν πρόσω
Γραίας ἐρείκης θωμὸν ἅψαντες πυρί.
Σθένουσα λαμπὰς δ' οὐδέπω μαυρουμένη,
Ὑπερθοροῦσα πεδίον Ἀσωποῦ, δίκην
Φαιδρᾶς σελήνης, πρὸς Κιθαιρῶνος λέπας,
Ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρός.
Φάος δὲ τηλέπομπον οὐκ ἠναίνετο
Φρουρὰ πλέον καίουσα τῶν εἰρημένων·
Λίμνην δ' ὑπὲρ Γοργῶπιν ἔσκηψεν φάος·
Ὄρος τ' ἐπ' Αἰγίπλαγκτον ἐξικνούμενον
Ὤτρυνε θεσμὸν μὴ χαρίζεσθαι πυρός.
Πέμπουσι δ' ἀνδαίοντες ἀφθόνῳ μένει
Φλογὸς μέγαν πώγωνα καὶ Σαρωνικοῦ
Πορθμοῦ κάτοπτον πρῶν' ὑπερβάλλειν πρόσω
Φλέγουσαν· εἶτ' ἔσκηψεν, εἶτ' ἀφίκετο
Ἀραχναῖον αἶπος, ἀστυγείτονας σκοπάς·
Κἄπειτ' Ἀτρειδῶν ἐς τόδε σκήπτει στέγος
Φάος τόδ' οὐκ ἄπαππον Ἰδαίου πυρός.
Τοιοίδ' ἕτοιμοι λαμπαδηφόρων νόμοι,

---

231. MSS. φανὸν 232. f. Ἄθφον 233. ὑπερτελέ τε (ὑπερθ' Ἕλλης τε = ὑπεὶρ Ἕλης τε) πόντον — f. φωτίσαι 234. f. προςήνυτεν 236. παραγγείλας ἀμακίστου σκοπᾶς (= σκοπὰς) f. σκοποῖς 240. (Μεσσαπίου) — μολὼν 244. παιδίον ὠποῦ (πεδίον Ὠρωποῦ) 251. δή χαρ. f. μῆχαρ ἵζεσθαι 254. MSS. κάτοπτρον (οὐχ ὑπερβ.) 255. f. ἔς τ' (ἔστ') ἀφίκετο — f. εὖ τ' ἔσχ. εὖτ' 256. ἀστυγείτονα 257. ἐς τόγε 259. ἔτυμοι = f. τοιοίδε τοί μοι